σεως ἀναστέλλοντες, καὶ σύμμαχον τὸν λόγον τῇ γνώμῃ διδόντες, ἵνα πρὸς ἀρετὴν ἡ διάνοια ἕπηται, καὶ τὸ σῶμα πρὸς ἀρετὴν ἐφέλκῃ. ἀμέλει ἐπὶ τοσοῦτον προῆλθε τὰ σώματα τῶν ἁγίων, ὡς τιμηθῆναι, καὶ μήτε κενὰ γενέσθαι ἐνεργείας, μήτε δυνάμεως θείας. νεκρὸν ἔκειτο τὸ σῶμα τοῦ Ἐλισσαίου, καὶ κείμενον νεκρὸν, ἤγειρε νεκρόν. ἔσωζε τὸν θάνατον, ἠλευθέρου τὸν ἀποθανόντα, εἰς ζῶντας ἔπεμπε τὸν τεθνεῶτα, προξενεῖ τῷ πεπονημένῳ τὴν ἔγερσιν. οἱ δὲ Μανιχαῖοι πρὸς αὐτὸν μεμηνότες, καὶ τὸ λόγιον διαβάλλουσι, μήτε τὸν νόμον τιμῶντες, κἂν ἐκ τοῦ παραλλήλου δυσωπείθωσαν κἂν ἡ σκιὰ Πέτρου τὴν γνώμην ἐκείνων αἰσχυνέτω. σώματος γὰρ ἦν ἡ σκιά. καὶ ἐφαπλωμένη κατὰ τῶν νενοσηκότων σωμάτων ἀπόλυτα τὰ σώματα τῶν νοσημάτων κατεσκεύαζε. τούτων οὖν ὄντων τῶν ἀποδεικτικῶν λόγων, καὶ τοσαύτης οὔσης τῆς ἀποδεικτικῆς πράξεως, πῶς οὐκ ἄτοποι ἂν εἶεν, φράσαι λόγοις ἁρμόσαι τὰ ἀνάρμοστα ἐσπουδακότες. φασὶ γὰρ Μανιχαῖοι, τὸ σῶμα ἐφορέσαμεν τοῦ σατανᾶ, ἡ δὲ ψυχὴ τοῦ θεοῦ. καὶ τὸ μὲν σῶμα οὕτω πέφυκε κακὸν, ἐκ κακοῦ προελθόν. ἡ δὲ ψυχὴ πέφυκε καλὴ, ἐκ καλοῦ ἔχουσα τὴν ἀρχήν. οὐκοῦν δύο ἀρχαὶ καὶ δύο οὐσίαι. καὶ ἀρχαὶ δύο γεγόνασιν αἰτίαι. καὶ ἡ μὲν σώματος κακοῦ, ἡ δὲ ψυχῆς ἀγαθῆς. ἀγαθὴ οὖν ἡ ψυχὴ, πονηρὸν δὲ τὸ σῶμα. καὶ πῶς σῶμα μὲν σωφρονεῖ πολλάκις δὲ ψυχὴ ἐπιθυμεῖ; καὶ πῶς ἑκάτερον ἐν τῇ ἰδίᾳ τάξει οὐ μένει, καὶ γέγονε τὸ ἀνάπαλιν, τὸ μὲν τοῦ διαβόλου τοῦ θεοῦ, τὸ δὲ τοῦ θεοῦ τοῦ διαβόλου; καὶ λέλυται ἡ θρυλλουμένη ἔχθρα. καὶ φιλία γέγονε καὶ σπονδή; τοῦ μὲν θεοῦ τὴν ψυχὴν ἀποπέμποντος τῷ διαβόλῳ, τοῦ δὲ διαβόλου τὸ σῶμα ἀντιπαραπέμποντος τῷ θεῷ ὑπηρετικ

ὑπη-